# ΚΔ΄. ΟΙΚΟΙ

# ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ ΠΑΡΑΣΚΕΥΗΝ

Ἀντιγραφέντες ἐκ τῶν χειρογράφων τῆς ἱερᾶς Μονῆς ἁγ. Παρασκευῆς Ἀχαρνῶν παρὰ τοῦ ἀρχιμ. Γαβριὴλ Σταματελάτου.

Ἐκδίδεται πρὸς τιμὴν τῆς ἱερᾶς Μονῆς ἁγίας Παρασκευῆς Ἀχαρνῶν Ἀττικῆς

## Κοντάκιον

Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ

Τῇ ἁγίᾳ ἡμῶν Μητρὶ τὸν ὕμνον μέλψωμεν. Παρασκευῇ πάντες ὁμοῦ ἐν ᾠδαῖς ᾄδοντες, ἀπαστράπτει γὰρ τοῖς θαύμασιν ἐν τῷ κόσμῳ, καὶ παρέχει τὰς ἰάσεις τοῖς προστρέχουσι, τῷ σεπτῷ ναῷ αὐτῆς πᾶσιν ἐκ πίστεως, καὶ κραυγάζουσι. Χαίροις Παρασκευὴ ἀοίδιμε.

Ἄγγελοι οὐρανόθεν ἐξεπλάγησαν θεῖοι, τολμήματι τῷ σῷ, Παρασκευή, (ἐκ γ΄.) Πῶς ἄτρεμος σὺ μόνη νυκτός τε καὶ ἡμέρας εἰς χώρας δραμοῦσα ἔγερσιν Χριστοῦ ἐκήρυξας πᾶσιν, ὢ χάριτος! Ἡμεῖς δέ σοι βοῶμεν:

Χαῖρε, γυμνὴ ἐνέργεια χάριτος· χαῖρε σοφὴ ἀργία τῆς φύσεως.

Χαῖρε, ἀσθένειαν θήλεος παραβλέψασα· χαῖρε, Χριστὸν πανταχοῦ πᾶσι κηρύξασα.

Χαῖρε, χάρισμα Ἀποστόλων πρὸς Χριστοῦ λαβοῦσα· χαῖρε, ὁμοία αὐτοῖς τῇ ἀνδρείᾳ φανεῖσα.

Χαῖρε, ἡ εἰδώλων ἐκτείλασα τὴν ἄκανθαν· χαῖρε, ἡ ἐνσπείρασα τῆς πίστεως τὴν ἄρουραν.

Χαῖρε ὅτι δένδρα ἀγλαόκαρπα ἤγαγες Χριστῷ· χαῖρε, ὅτι πολλοὺς ἤνεγκας σεσωσμένους τῷ Θεῷ·

Χαῖρε, δι᾿ ἧς ἀθεΐα ἔφυγη· χαῖρε, δι᾿ ἧς Θεοῦ ἡ γνῶσις ἐφύη.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Βλέπων σε ὑπήκοον ὁ Δεσπότης τῶν ὅλων, τῶν θείων αὐτοῦ ἐντολῶν ἐκόσμει σε θείαις αἴγλαις, διὸ τῇ ἀγάπῃ αὐτοῦ φλεχθεῖσα ἀναβάσεις ἔσχες σεαυτῇ, Παρασκευή, καὶ τῷ Νυμφίῳ σου ἐκ πόθου ἀνεβόας.

Ἀλληλούϊα.

Γνῶσιν ἔχουσα εὐθεῖαν ἡ καλὴ νεᾶνις, ἔδραμεν εἰς Παρθενῶνα, τὴν ψυχὴν τῷ Νυμφίῳ αὐτῆς λαμπρὰν παραστῆσαι βουλομένη, καὶ τῷ φίλτρῳ αὐτοῦ φλεχθεῖσα: προέκοπτε ταῖς ἀρεταῖς πρὸς ἣν ἡμεῖς βοῶμεν.

Χαῖρε, Χριστοῦ τῷ φίλτρῳ φλεχθεῖσα· χαῖρε, Χριστοῦ στοργῇ ἡ θελχθεῖσα.

Χαῖρε, κόσμον ἅπαντα μισήσασα· χαῖρε, Χριστὸν ἐνθέρμως ποθήσασα.

Χαῖρε, ἡ σχοῦσα προσπάθειαν πάντων· χαῖρε ἡ μετασχοῦσα χαρᾶς ἀρρήτου.

Χαῖρε, εὔοσμον θυμίαμα δι᾿ οὗ τέρπονται πιστοί· χαῖρε, ἔμψυχον ἁγίασμα δι᾿ οὗ σῴζονται πολλοί.

Χαῖρε, ἡ μεγάλη ἐν τῇ ἀσκήσει· χαῖρε, ἡ μεγίστη ἐν τῇ φρονήσει.

Χαῖρε, Χριστοῦ ἡ φίλη ἡ γνησία· χαῖρε, αὐτοῦ ἡ μεγίστη μαθήτρια.

Χαίροις Παρασκευὴ ἀοίδιμε

Διαφυλάξασα πάσας τὰς ἐντολάς, ὦ Παρασκευὴ καλλιπάρθενε, Χριστῷ σῷ Νυμφίῳ ἐκολλήθης, καὶ ὤφθης μετ᾿ αὐτοῦ πνεῦμα ἕν, Χριστῷ ζῶσα μόνῳ, Χριστοῦ ἐρῶσα, Χριστὸν ἡγουμένη πνοὴν καὶ φῶς καὶ ἔρωτα καὶ ψάλλουσα τούτῳ.

Ἀλληλούϊα

Ἔχουσα ἐν καρδίᾳ σου τὸ πῦρ τῆς πρὸς Χριστὸν ἀγάπης, οὐκ ἠνέσχου βλέπειν τὴν εἰδώλων προσκύνησιν, ὅθεν ἔδραμες εἰς κώμας καὶ πόλεις, Χριστὸν κηρύττουσα πᾶσιν· ἡμεῖς δέ σοι βοῶμεν.

Χαῖρε, λαμπρὰ τῆς Τριάδος κῆρυξ· χαῖρε, τερπνὴ τῆς πίστεως σύριγξ.

Χαῖρε, ἡ μανίαν ἀνόμων ἐλέγξασα· χαῖρε, ἀπίστους σκότους λυτρώσασα.

Χαῖρε, σοφὸν πλάνης λύσασα σῷ κηρύγματι σοφῷ· χαῖρε, κόσμου καταυγάσασα θείᾳ λάμψει σου σεμνή.

Χαῖρε, ἡ γῆν ἀρδώσασα τὴν ἄκαρπον. χαῖρε, Θεῷ αὐτὴν δείξασα κάρπιμον.

Χαῖρε, νᾶμα ὃ ἐξέρρευσε παραδόξως ἐξ Ἐδέμ· χαῖρε, πόμα ὃ ἀνέψυξε τοὺς τακέντας ἐξ Ἀδάμ.

Χαῖρε, δι' ἧς ἡ πλάνη κατηργήθη· χαῖρε, δι' ἧς ἡ πίστις ἐφηπλώθη.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Ζῆλον ἔνθεον ἔσχες καὶ πῦρ τῆς πρὸς Χριστὸν ἀγάπης, ὑφ' οὗ θερμανθεῖσα τὸν λογισμόν, ὅλη πυρίνη γέγονας, καὶ ὡς ὑψηπέτης ἀετὸς διέβης πᾶσαν πόλιν καὶ χώραν, Χριστὸν κηρύττουσα τοῖς μὴ εἰδόσι ψάλλειν.

Ἀλληλούϊα

Ἤκουσε τὴν σὴν φήμην ὦ Παρασκευὴ ὁ Ἀντωνῖνος, ὁ τύραννος, καὶ καλέσας σε καὶ ἀκροασάμενός σου, ἐνεὸς καὶ ἄφωνος ἰχθὺς γέγονεν. Ἠπόρει γὰρ λέγειν, τὸ πῶς νεᾶνις ἁπαλὴ τοσαύτην ἀνδρείαν καὶ σοφίαν κέκτηται; ἡμεῖς δὲ σοὶ βοῶμεν.

Χαῖρε, Θεοῦ σοφίας τὸ σκεῦος· χαῖρε, τερπνὸν γυναικῶν τὸ κλέος.

Χαῖρε, ὄργανον τῆς δυνάμεως τοῦ Χριστοῦ· χαῖρε, σάλπιγξ τῆς θεότητος αὐτοῦ.

Χαῖρε, ὅτι ὑπεχώρησε διὰ σοῦ πᾶσα πλάνη· χαῖρε, ὅτι ἐπεσκίασεν ἐπὶ σὲ πᾶσα χάρις.

Χαῖρε, χορείαν Ἀποστόλων φαιδρύνουσα· χαῖρε, τὰς τάξεις τῶν Ἀγγέλων ἡδύνουσα.

Χαῖρε, ἀηδὼν λιγυρὰ καὶ πολύφωνος· χαῖρε, χελιδὼν ᾠδικὴ καὶ ἱερόφθογγος.

Χαῖρε, δι' ἧς τὸ ἀληθὲς ἐδείχθη· χαῖρε, δι' ἧς τὸ ψευδὲς ἀπηλέγχθη.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Θάμβος ἐπὶ θάμβει κατέλαβε τὸν τύραννον, ἰδών σε ἐντὸς λέβητος καιομένου, ὡς εἰς δρόσον καθημένην, ἀλλὰ λύσασα ἑτέρῳ θαύματι τὴν ἀπορίαν αὐτοῦ, φίλον Χριστοῦ ἐποίησας, τὸν πρώην ἐχθρὸν βοῶντα αὐτῷ οὕτως.

Ἀλληλούϊα.

Ἴθυνάς σου τοὺς πόδας πρὸς ἑτέρας πόλεις, ὦ Παρασκευὴ ἰσαπόστολε ὄντως, ὡς ποθοῦσα Χριστὸν τὸν Νυμφίον σου, κηρύξαι τοῖς ἐν σκότει καθημένοις, οἳ καὶ φωτισθέντες ἐβόων σοι οὕτω.

Χαῖρε, δαιμόνων ἡ καθαιρέτις· χαῖρε, εἰδώλων ἡ καταλύτις.

Χαῖρε, πλανωμένων ὀξεῖα ἀντίληψις· χαῖρε, λυπουμένων ταχεῖα ἐπίσκεψις.

Χαῖρε, πλάνης κατασβέσασα ἀθεΐας· χαῖρε, σκότος διαλύσασα ἀπιστίας.

Χαῖρε, τοῖς ὑμνηταῖς σου χάριν πᾶσι διδοῦσα· χαῖρε σὲ προσκυνοῦσιν ἴασιν χορηγοῦσα.

Χαῖρε, ῥῶσιν ἡ παρέχουσα ἀσθενοῦσι δαψιλῶς· χαῖρε, βλέπειν ἡ βραβεύουσα ἀβλεποῦσιν ἐντελῶς.

Χαῖρε, δι' ἧς ἡ ἀπιστία νεκροῦται· χαῖρε, δι' ἧς ὁ σατὰν καθαιρεῖται.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Κατεπλάγησαν ἄνθρωποι ὁμοῦ καὶ ἄγγελοι, τὴν σὴν καρτερίαν καὶ

ἀνδρείαν. Οὐ γὰρ ἅπαξ οὐδὲ δίς που, ἀλλὰ τρὶς ἐν τῷ κριτηρίῳ παρέστης, ἵνα ὅλη ὅλως βασάνῳ ἀναλωθῇς ὑπὲρ τοῦ Νυμφίου σου βοῶσα αὐτῷ.

Ἀλληλούϊα

Λάμψασα ὡς φωστὴρ ἐν τῷ κόσμῳ, κατέπληξας τοῖς θαύμασί σου ἅπαντας, καὶ ἐπέστρεψας τούτους εἰς θεογνωσίαν, σὺν τῷ Ἀσκληπιῷ τῷ βασιλεῖ καὶ ὑπὸ σοῦ βαπτισθέντες ἐβόων σοι εὐγνωμόνως οὕτω.

Χαῖρε, λαμπὰς ἡ παμφαεστάτη· χαῖρε, ἀμνὰς Χριστοῦ ἡ πρᾳοτάτη.

Χαῖρε, ἡμῶν σὲ τιμώντων τεῖχος· χαῖρε, λαοῦ εὐσεβοῦντος σθένος.

Χαῖρε, Θεῷ ἡ προωρισμένη· χαῖρε, αὐτῷ ἡ ἐκλελεγμένη.

Χαῖρε, πρὸ θανάτου τελοῦσα τεράστια· χαῖρε, μετὰ πότμον τελοῦσα θαυμάσια.

Χαῖρε, ὅτι κόσμον ἅπαντα ηὔγασας σαῖς διδαχαῖς· χαῖρε, πάντας ἡ λαμπρύνασα ἀστραπαῖς σου φαειναῖς.

Χαῖρε, ἡ φυτοκόμος τῆς Τριάδος λατρείας· χαῖρε, ἡ ῥιζοτόμος τῆς δαιμόνων θρησκείας.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Μεγάλως ἠγάπησας Χριστόν, ὦ μάρτυς, πάντα γὰρ τὰ εἴδη τῶν βασάνων πέπονθας, ὑπὸ τριῶν διαδοχικῶν τυράννων, ἃ καὶ νοούμενα μόνον κάμπτει καρδίαν καὶ τὴν ἀδαμάντινον, ἀλλὰ σὺ ταῦτα μετὰ πόθου καὶ χαρᾶς ὑπέμεινας ψάλλουσα.

Ἀλληλούϊα

Νέα μὲν τὴν ἡλικίαν, πολλὰς δὲ τὰς φρένας ἐδείχθης, ὦ Παρασκευὴ καλλιπάρθενε, ὅθεν καὶ τὰς κολάσεις στερρῶς, ὥσπερ τινὸς ἄλλου πάσχοντος, πέπονθας ἐν γεραρῷ φρονήματι, διὸ σοὶ μελῳδοῦμεν τοιαῦτα.

Χαῖρε, ἡ παραβλέψασα τῆς νεότητος τὸ ἄνθος· χαῖρε, ἡ μὴ οἰκτείρασα τῆς σαρκός σου τὸ κάλλος.

Χαῖρε, ζωῆς μηδόλως φεισαμένη· χαῖρε, ἐχθρὲ τοῦ σώματος ἄσπονδε.

Χαῖρε, ἡδονῶν τῶν γηΐνων ἀνωτέρα· χαῖρε, ἀγαθῶν τῶν τῆς ὕλης ὑπερτέρα.

Χαῖρε, πάντα διὰ Χριστὸν μισήσασα· χαῖρε, αὐτὸν μόνον ἐνθέρμως ποθήσασα.

Χαῖρε, σὲ γὰρ ἄγγελοι ὕμνησαν· χαῖρε, σὲ γὰρ οἱ δαίμονες ἔφριξαν.

Χαῖρε, Θεοῦ ἡ τερπνὴ εὐωδία· χαῖρε, βροτῶν ὁδηγὲ σωτηρίας.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Ξένα ὄντως καὶ παράδοξα ὑπάρχει τὰ σὰ ἆθλα, ὦ Παρασκευὴ πολύαθλε, ἄπειρα γάρ ἐστι τῷ πλήθει μέγιστα δὲ τῇ δυνάμει, ὁμότροπος τῶν Ἀποστόλων γενομένη καὶ ὁμόσκηνος τῶν ὁσίων ὁμοῦ καὶ Μαρτύρων μεθ' ὧν ψάλλεις.

Ἀλληλούϊα.

Ὅλον ἐν στέρνοις ἔχουσα τὸν τοῦ Θεοῦ Θεὸν Λόγον, ἐνήργεις δι' αὐτοῦ τὰ φρικτά, καὶ πέρας διανοίας ὄντα θαυμαστὰ ἃ ἡμεῖς ἐκπληττόμενοι, σὺν θαύματι βοῶμέν σοι.

Χαῖρε, τῆς Τριάδος ὁ οἶκος ὁ πάνσεπτος· χαῖρε, τῆς δυάδος τῶν φύσεων τέμενος.

Χαῖρε, σεπτὸν Παρακλήτου στόμα· χαῖρε, πυρὶ στομωθεῖσα γλῶσσα.

Χαῖρε, τοῦ ἄνω κόσμου ἐντρύφημα ὡραῖον· χαῖρε, τοῦ κάτω κόσμου σεμνολόγημα θεῖον.

Χαῖρε, γλυκὺ τῶν νόων ἀγλάϊσμα· χαῖρε, ψυχῶν ἡδὺ ἐγκαλλώπισμα.

Χαῖρε, χαριεστάτη λευκὴ περιστερά· χαῖρε, ἡ ὡραιοτάτη τοῦ Χριστοῦ ἀμνάς.

Χαῖρε, δι' ἧς ὁ σατὰν κατῃσχύνθη,

χαῖρε, δι' ἧς ὁ Χριστὸς ἐδοξάσθη.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Πᾶσαν χάριν ἐδέξω πρὸς Χριστοῦ ἀθληφόρε, καὶ ταύτας τοῖς αἰτοῦσι σε δίδως· ἐκ παντοίας γὰρ νόσου δεινῆς καὶ τυφλώσεως ὀφθαλμῶν, ἅπαντας τοὺς προσιόντας σοι λυτροῦσαι, ἴασαι δαιμονῶντάς τε, διὸ Θεῷ βοῶμεν.

Ἀλληλούϊα

Ρήτορα πολύφθογγον τῇ σοφίᾳ τοῦ Χριστοῦ, καὶ θαύματα πολλὰ ἐκτελοῦσάν σε ἐν γῇ ὁρῶντες οἱ λαοί, πρὸς τὴν ἀληθῆ πίστιν τῆς Τριάδος ἐνήρχοντο, καὶ ἔχαιρον τῷ πνεύματι τοιαῦτά σοι ἀναφωνοῦντες.

Χαῖρε, οὐρανίων δυνάμεων ἥδυσμα· χαῖρε, ἐπιγείων βροτῶν ἀγαλλίαμα.

Χαῖρε, ὅτι δόξα γέγονας οὐρανοῦ τε καὶ τῆς γῆς· χαῖρε, ὅτι χαρὰν ἤνεγκας καὶ ἀγγέλοις καὶ βροτοῖς.

Χαῖρε, πιστῶν τὸ πολιὸν φρόνημα, χαῖρε, κλεινὸν τῆς χάριτος ἄγαλμα.

Χαῖρε, τὸ φῶς τῶν ἐσκοτισμένων· χαῖρε, ὁδὸς τῶν πεπλανημένων.

Χαῖρε, τῶν θαυμάτων Χριστοῦ κήρυξ· χαῖρε, παθημάτων αὐτοῦ μάρτυς.

Χαῖρε, ἡμῶν ἡ παρηγορία· χαῖρε, παντὸς ἡ προσηγορία.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Συστήματα τῶν δαιμόνων καθορῶντά σε, ὦ Μάρτυς, νικήσασαν αὐτοὺς κατὰ κράτος, τὴν ἧτταν αὐτῶν ὀλολυγμῷ πικρῶς ἐθρήνουν, καὶ ταῦτα ἔλεγον. Πῶς ἡ σαρκοφόρος καὶ ἀσθενὴς γυνὴ ἀσάρκους ἐνίκησε καὶ Θεῷ ψάλλει;

Ἀλληλούϊα.

Τί μοι πλοῦτος καὶ δόξα καὶ τρυφὴ φθειρομένη; ἐβόας, ὦ Παρασκευή, Ταρασίῳ τῷ τυράννῳ, ἐμοὶ πλοῦτος καὶ δόξα καὶ τρυφὴ ὁ Χριστὸς ὑπάρχει. Λοιπὸν μὴ βραδύνῃς μοι ἑτοιμάσαι πάσας τὰς βασάνους· διὸ σὲ κατασπαζόμενοι κράζομεν.

Χαῖρε, Θεοῦ ὁ μανικὸς ἔρως· χαῖρε, Χριστοῦ ὁ πρηστήριος πόθος.

Χαῖρε, τῆς ἀγάπης τῆς θείας πῦρ ἄσβεστον, χαῖρε, τοῦ Δεσπότου φίλτρον τὸ ἀέναον.

Χαῖρε, ὅτι τρυφὰς ἡγήσω τὰ δεινὰ διὰ Θεόν, χαῖρε, ὅτι πολλὰς ἤνεγκας νίκας τῷ Χριστῷ.

Χαῖρε, φιλοῦσα ὁμοῦ καὶ φιλουμένη· χαῖρε, σεπτῆς ἐκδημῶσα ὅλη ὅλως.

Χαῖρε, πάντα ἀφεῖσα καὶ Χριστὸν πριαμένη· χαῖρε, δόξαν καὶ χάριν παρ' αὐτῷ εὑραμένη.

Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας· χαῖρε, τὸ κάλλος τῆς αὐλίας.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Ὑπαντᾷ, ὦ Παρασκευή, τῇ ἁγίᾳ ψυχῇ σου, ὁ χορὸς τῶν ἁγίων Μαρτύρων τε καὶ Ὁσίων, ἀνερχομένῃ εἰς τοὺς οὐρανούς, καὶ μετὰ ἀγγέλων τὸν ἐπινίκιον ὕμνον Θεῷ, ἠλάλαζον ἐν εὐφροσύνῃ ψάλλοντες.

Ἀλληλούϊα.

Φῶς τὸ ἄδυτον νῦν βλέπεις τῆς ἁγίας Τριάδος, οἷα Θεὸς τῇ χάριτι γενομένη, ἀμέσως Θεῷ τῷ φύσει παρισταμένη καὶ δόξης θεαρχικῆς ἐμφορουμένη, ἀγάλλει ἀτελευτήτως ἡμεῖς δέ σοι βοῶμεν.

Χαῖρε, ζωῆς αἰωνίου τρυφῶσα· χαῖρε, φωτὸς ἀκηράτου πλησθεῖσα.

Χαῖρε, τῷ ἀδύτῳ φωτὶ παρισταμένη· χαῖρε, τῆς Τριάδος τῇ αἴγλῃ τερπομένη.

Χαῖρε, ἄπλετον κεκτημένη πρὸς Θεὸν παρρησίαν· χαῖρε παρεστῶσα πρὸς αὐτὸν ὡς φίλη γνησία.

Χαῖρε, ὅτι πρὶν συνέπαθες τῷ πε-

πονθότι Χριστῷ· χαῖρε, ὅτι συνδεδόξασαι νῦν δοξασθέντι αὐτῷ.

Χαῖρε, ἡ βασιλείας οὐρανῶν ἀπολαύσασα· χαῖρε, αἰωνίου δόξης ἡ κοινωνήσασα.

Χαῖρε, ὅτι σὺ δεδόξασαι ἐν τῇ γῇ καὶ οὐρανοῖς· χαῖρε ὅτι καὶ νενύμφευσαι τῷ τῶν ὅλων ποιητῇ.

Χαίροις Παρασκευὴ ἀοίδιμε

Χάριτος ἠξιώθημεν μεγίστης, ὦ Παρασκευὴ πανεύφημε, προστάτιν σε καὶ φρουρόν τε καὶ ἰατρὸν πλουτήσαντες, πάντα γὰρ ποιῆσαι δύνασαι Χριστοῦ τῇ θείᾳ χάριτι, τοῖς πρὸς αὐτὸν βοῶσιν.

Ἀλληλούϊα

Ψάλλεις, ὦ πάνσοφε, παναρμονίως ἐν οὐρανοῖς, σὺν ἀγγέλοις τῷ Θεῷ τῇ Τριάδι, τὸν τρισάγιον ὕμνον ἔνθα καὶ πρεσβεύεις ἀεὶ ὑπὲρ ἡμῶν τῶν σῶν τέκνων. Διὸ ἀγαλλόμενοι εὐχαρίστως κράζομεν.

Χαῖρε, τῶν αὔλων ἀγγέλων συνόμιλε· χαῖρε, τῶν ἁγίων ἁπάντων ὁμόσκηνε.

Χαῖρε, Θεὸν σὺν ἀγγέλοις ὑμνοῦσα· χαῖρε, ἀνθρώπων τὸ γένος κοσμοῦσα.

Χαῖρε, χοροὺς ἁγίων ἡδύνουσα· χαῖρε Χριστῷ σὺν τούτοις πρεσβεύουσα.

Χαῖρε, ὅτι ἐστέφθης λαμπρῷ δόξης στεφάνῳ· χαῖρε, ὅτι συνήφθης ταῖς χορείαις τῶν ἄνω.

Χαῖρε, μύρα εὐωδέστατα ἡ πηγάζουσα πιστοῖς, χαῖρε, ῥεῖθρα τῶν ἰάσεων ἡ προχέουσα λαοῖς.

Χαῖρε, σοφὴ θεραπεύουσα νόσους· χαῖρε, σεμνὴ ἐκδιώκουσα πάθη.

Χαίροις Παρασκευὴ ἀοίδιμε.

Ὦ γλυκυτάτη ἡμῶν Μήτηρ, καὶ Νύμφη χαριτωμένη Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, (ἐκ γ´.) ἐφύμνιον τοῦτο τὸ βραχύ, ὡς μικρῶν νηπίων ψελισμὸν δέξου, καὶ δόξης αἰωνίου ἀξίωσον τοὺς μελῳδοῦντας.

Ἀλληλούϊα.

**Καὶ πάλιν τὸ Κοντάκιον**

**Ἦχος πλ. δ´. Τῇ ὑπερμάχῳ.**

Τῇ ἁγίᾳ ἡμῶν Μητρὶ τὸν ὕμνον μέλψωμεν, Παρασκευῇ, πάντες ὁμοῦ ἐν ᾠδαῖς ᾄδοντες, ἀπαστράπτει γὰρ τοῖς θαύμασιν ἐν τῷ κόσμῳ, καὶ παρέχει τὰς ἰάσεις τοῖς προστρέχουσι, τῷ σεπτῷ ναῷ αὐτῆς, πᾶσιν ἐκ πίστεως, καὶ κραυγάζουσι, Χαίροις Παρασκευὴ ἀοίδιμε.